UNIVERSITY OF CAMBRIDGE

# CLASSICAL TRIPOS Part I
## Paper 2

# MODERN AND MEDIEVAL LANGUAGES TRIPOS Part IB
## Paper GL 11

---

Thursday 7 June 2001 9 to 12

---

LESS DIFFICULT PASSAGES FOR TRANSLATION FROM GREEK AUTHORS

*Translate* **all** *the passages.*

*Please tie up* **each** *Section separately.*

**The Examiners will give equal weight to each Section.**

*Write your* **number** (**not** *your name*) *on the cover-sheet of* **each** *Section.*

**It is important to write good English.**

**You may not start to read the questions printed on the subsequent pages of this question paper until instructed that you may do so by the Invigilator**

**SECTION A**

*Translate:*

**A1** ὁρῶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ παρόντα πράγματα πολλὴν δυσκολίαν ἔχοντα καὶ ταραχὴν οὐ μόνον τῷ πολλὰ προεῖσθαι καὶ μηδὲν εἶναι προὔργου περὶ αὐτῶν εὖ λέγειν, ἀλλὰ καὶ περὶ τῶν ὑπολοίπων κατὰ ταὐτὰ μηδὲ καθ' ἓν τὸ συμφέρον πάντας ἡγεῖσθαι, ἀλλὰ τοῖς μὲν ὡδί, τοῖς δ' ἑτέρως δοκεῖν. δυσκόλου δ' ὄντος φύσει καὶ χαλεποῦ τοῦ βουλεύεσθαι, ἔτι πολλῷ χαλεπώτερον ὑμεῖς αὐτὸ πεποιήκατ', ὦ ἄνδρες Ἀθηναῖοι· οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα. ἐκ δὲ τούτου συμβαίνει παρὰ πάντα τὸν χρόνον ὃν οἶδ' ἐγώ, τὸν μὲν οἷς ἂν ἁμάρτητε ἐπιτιμῶντα εὐδοκιμεῖν καὶ δοκεῖν εὖ λέγειν, τὰ δὲ πράγματα καὶ περὶ ὧν βουλεύεσθ' ἐκφεύγειν ὑμᾶς.

DEMOSTHENES *On the Peace* 1–2

προὔργου *of use*
ἐπιτιμάω (+ dative) *criticise*

**A2** εἰπόντος οὖν ταῦτα αὐτοῦ οἱ παρόντες ἀνεθορύβησαν ὡς εὖ λέγοι, καὶ ἐγὼ εἶπον· Ὦ Πρωταγόρα, ἐγὼ τυγχάνω ἐπιλήσμων τις ὢν ἄνθρωπος, καὶ ἐάν τίς μοι μακρὰ λέγῃ, ἐπιλανθάνομαι περὶ οὗ ἂν ᾖ ὁ λόγος. ὥσπερ οὖν εἰ ἐτύγχανον ὑπόκωφος ὤν, ᾤου ἂν χρῆναι, εἴπερ ἔμελλές μοι διαλέξεσθαι, μεῖζον φθέγγεσθαι ἢ πρὸς τοὺς ἄλλους, οὕτω καὶ νῦν, ἐπειδὴ ἐπιλήσμονι ἐνέτυχες, σύντεμνέ μοι τὰς ἀποκρίσεις καὶ βραχυτέρας ποίει, εἰ μέλλω σοι ἕπεσθαι.

Πῶς οὖν κελεύεις με βραχέα ἀποκρίνεσθαι; ἢ βραχύτερά σοι, ἔφη, ἀποκρίνωμαι ἢ δεῖ;

Μηδαμῶς, ἦν δ' ἐγώ.

Ἀλλ' ὅσα δεῖ; ἔφη.

Ναί, ἦν δ' ἐγώ.

Πότερα οὖν ὅσα ἐμοὶ δοκεῖ δεῖν ἀποκρίνεσθαι, τοσαῦτά σοι ἀποκρίνωμαι, ἢ ὅσα σοί;

Ἀκήκοα γοῦν, ἦν δ' ἐγώ, ὅτι σὺ οἷός τ' εἶ καὶ αὐτὸς καὶ ἄλλον διδάξαι περὶ τῶν αὐτῶν καὶ μακρὰ λέγειν, ἐὰν βούλῃ, οὕτως ὥστε τὸν λόγον μηδέποτε ἐπιλιπεῖν, καὶ αὖ βραχέα οὕτως ὥστε μηδένα σοῦ ἐν βραχυτέροις εἰπεῖν· εἰ οὖν μέλλεις ἐμοὶ διαλέξεσθαι, τῷ ἑτέρῳ χρῶ τρόπῳ πρός με, τῇ βραχυλογίᾳ.

PLATO *Protagoras* 334 c7–335 a3

## SECTION B

**B1**

Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν,
Ζεὺς δὲ θεῶν ἀγορὴν ποιήσατο τερπικέραυνος
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο·
αὐτὸς δέ σφ' ἀγόρευε, θεοὶ δ' ὑπὸ πάντες ἄκουον·
"κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
μήτε τις οὖν θήλεια θεὸς τό γε μήτε τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος, ἀλλ' ἅμα πάντες
αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσι
πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε·
ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα
τῆλε μάλ', ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον,
ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός,
τόσσον ἔνερθ' Ἀΐδεω ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
γνώσετ' ἔπειθ' ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων."

HOMER *Iliad* VIII 1–17

**B2**

ΠΑΤΑΙΚΟΣ ΓΛΥΚΕΡΑ ΜΟΣΧΙΩΝ

Πα. πῶς οὖν ἐχωρίσθητ' ἀπ' ἀλλήλων δίχα;
Γλ. ἔχοιμ' ἂν εἰπεῖν πάντ' ἀκηκουϊά σοι·
τἀμὰ δέ μ' ἐρώτα, ῥητὰ γὰρ ταῦτ' ἐστί μοι·
ἐκεῖνα δ' αὐτῇ μὴ φράσειν ὀμώμοκα.
Μο. (aside) καὶ τοῦτό μοι σύσσημον εἴρηκεν σαφές·
ὀμώμοκεν τῆι μητρί. ποῦ πότ' εἰμὶ γῆς;
Πα. ὁ δὴ λαβών σε καὶ τρέφων τίς ἦν ποτε;
Γλ. γυνή μ' ἔθρεψεν, ἣ τότ' εἶδε κειμένην.
Πα. τοῦ δὴ τόπου τί μνημόνευμά σοι λέγει;
Γλ. κρήνην τιν' εἶπε καὶ τόπον γ' ὑπόσκιον.
Πα. τὸν αὐτὸν ὅνπερ χὠ τιθεὶς εἴρηκέ μοι.
Γλ. τίς δ' οὗτός ἐστιν; εἰ θέμις κἀμοὶ φράσον.
Πα. ὁ μὲν τιθεὶς παῖς, ὁ δὲ τρέφειν ὀκνῶν ἐγώ.
Γλ. σὺ δ' ἐξέθηκας ὢν πατήρ; τίνος χάριν;
Πα. πόλλ' ἐστὶν ἔργ' ἄπιστα, παιδίον, τύχης.
ἡ μὲν τεκοῦσ' ὑμᾶς γὰρ ἐκλείπει βίον
εὐθύς, μιᾷ δ' ἔμπροσθεν ἡμέρᾳ, τέκνον—
Γλ. τί γίνεται πόθ'; ὡς τρέμω τάλαιν' ἐγώ.
Πα. πένης ἐγενόμην βίον ἔχειν εἰθισμένος.

MENANDER *Perikeiromene* 788–806

*χωρίζω separate*
*σύσσημον token*

[TURN OVER

B3



ΕΛΕΝΗ

ἔστιν δὲ δὴ
λόγος τις ὡς Ζεὺς μητέρ' ἔπτατ' εἰς ἐμὴν
Λήδαν κύκνου μορφώματ' ὄρνιθος λαβών,
ὃς δόλιον εὐνὴν ἐξέπραξ' ὑπ' αἰετοῦ
δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος·
Ἑλένη δ' ἐκλήθην. ἃ δὲ πεπόνθαμεν κακὰ
λέγοιμ' ἄν. ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον ἐς κευθμῶν' Ἀλέξανδρον πάρα,
Ἥρα Κύπρις τε διογενής τε παρθένος,
μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχές,
Κύπρις προτείνασ' ὡς Ἀλέξανδρος γαμεῖ,
νικᾷ. λιπὼν δὲ βούσταθμ' Ἰδαῖος Πάρις
Σπάρτην ἀφίκεθ' ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ' οὕνεκ' οὐ νικᾷ θεάς,
ἐξηνέμωσε τἄμ' Ἀλεξάνδρῳ λέχη,
δίδωσι δ' οὐκ ἔμ', ἀλλ' ὁμοιώσασ' ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ ξυνθεῖσ' ἄπο,
Πριάμου τυράννου παιδί.

EURIPIDES *Helen* 17–35